## XX.

### *Πρᾶξις σὺν θεῷ κ'.*

p. 473 b. πῶς λέγεις.

τοῦ Σωκράτους εἰρηκότος, ὅτι ὁ ἀδικήσας καὶ παθὼν ἧττον 1
ἄθλιός ἐστι τοῦ ἀδικήσαντος μὲν μὴ παθόντος δὲ ὁ Πῶλος εἶπεν κατ' εἰρωνείαν, ὅτι χαλεπόν ἐστιν ἐλέγξαι σε, καὶ ὁ Σωκράτης τῷ παρ' ὑπόνοιαν χρησάμενος ἔφη, ὅτι οὐ χαλεπὸν ἀλλὰ ἀδύνατον· λοιπὸν οὖν ὁ Πῶλος ἄρχεται τοῦ ἁλόντος μὲν τυράννου τὰς συμφορὰς διηγεῖσθαι ἐνθυμηματικῶς αὔξων αὐτὰς καὶ τῷ μεγέθει καὶ τῇ διαφορᾷ· τοῦ δὲ ἀδικήσαντος μὲν μὴ ἁλόντος δὲ τὴν πρᾶξιν καί φησιν, ὅτι πῶς λέγεις, τοῦτον μὲν τὸν τοιαῦτα πάσχοντα εὐδαίμονα, τὸν δὲ φυγόντα κακοδαίμονα· καὶ ἰστέον, ὅτι ὃ μὴ εἶπεν ὁ Σωκράτης συνεπέρανεν· οὐκ εἶπεν γὰρ αὐτὸν εὐδαίμονα ἀλλ' ἧττον ἄθλιον, καὶ ἄξιον ζητῆσαι, διὰ τί μὴ ὥσπερ ἐστὶν ἐπὶ τοῦ κακοῦ κρεῖττον κακὸν καὶ ἧττον ὥς καὶ ὁ ποιητής φησιν·

κακὸν δέ κε φέρτερον εἴη·

οὕτω καὶ ἐπὶ τοῦ εὐδαίμονος λέγομεν καὶ ἧττον εὐδαίμων· λέγομεν τοίνυν, ὅτι ἡ εὐδαιμονία τὸ μέγιστον ἀγαθόν ἐστιν· ἐπὶ δὲ τοῦ μεγίστου τὸ μᾶλλον καὶ ἧττον χώραν οὐκ ἔχει.

εἶτα ὁ Πῶλος τοῦ Σωκράτους ἐλεγχθῆναι βουλομένου τοὺς 2
πολλοὺς ἀνθρώπους εἰς μαρτυρίαν καλεῖ, κακῶς γε ποιῶν· δεῖ γὰρ ἀποδεικτικῶς συλλογίζεσθαι καὶ μὴ ἀπὸ τοῦ ὄχλου· θεῖοι τοίνυν λόγοι παραδίδονται καὶ ἐπῳδαὶ μέγισται δυνάμεναι κατευνάσαι ἡμῶν τὰ πάθη καὶ εἰπεῖν αὐτοῖς·

μένετε ἀτρέμας ἐν δεμνίοις·

λέγει τοίνυν ὁ Σωκράτης, ὅτι ἐγὼ οὐκ εἰμὶ τῶν πολιτικῶν ἀντὶ τοῦ τῶν πολλῶν· ἀμέλει καὶ πάλαι ἀριθμῶν τὰς ψήφους ἐγελώμην· ἰστέον γὰρ ὅτι δέκα φυλῶν οὐσῶν παρὰ τοῖς

---

16 *P* 105 25 Euripid. Orest. 258

---

14 mg. ἀπορία 18 mg. λύσις 28 mg. ση. ἰστέον ὅτι παρ' Ἀθηναίοις ὁ ἐνιαυτὸς τνδ' ἡμερῶν ἦν κατὰ σελήνην ἀγόμενος· δωδεκάκι γὰρ τὰ κθϛ' τνδ'· δέκα δὲ οὐσῶν φυλῶν αἱ